πολλοὺς δὲ ποιεῖτα[ι φίλους·
δέ]δοιχ' ὅπως μὴ τυφλὰ κἀλιτήμερα
σπ]ουδῆι ἐπειγόμενος
τὼς ὥσπερ ἡ κ[ύων τέκω."
τοσ]αῦτ' ἐφώνεον· παρθένον δ' ἐν ἄνθε[σιν
τηλ]εθάεσσι λαβὼν
ἔκλινα· μαλθακῆι δ[έ μιν
χλαί]νηι καλύψας, αὐχέν' ἀγκάλῃς ἔχω[ν,
. . . ]ματι παυ̣[σ]α̣μ̣έ̣νην
τὼς ὥστε νεβρ̣[
μαζ]ῶν τε χερσὶν ἠπίως ἐφηψάμην
. . . ]ρ̣έφηνε̣ νέον
ἥβης ἐπήλυ̣σ̣ιν χρό̣α̣
ἅπαν τ]ε σῶμα καλὸν ἀμφαφώμενος
. . . . ]ον ἀφῆκα μένος
ξανθῆς ἐπιψαύ[ων τριχός. ⊗

15 Hesych. παρὲξ τὸ θεῖον χρῆμα· ἔξω τῆς μίξεως. 26 Id. δὶς τόση· τῆι ἡλικίαι. Ἀρχίλοχος (= fr. 242).

**197.** — ◡ — × — ◡ — × — ◡ —

**197** Hephaest. *Ench.* 6. 2; schol. Pind. *Ol.* 12, etc.
⊗ Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδαισάμην.

**200 - 202**. Epodi incerti metri

**200** *Et. Gen.* / *Magn.* s.v. προΐκτης; *Suda* iii. 55. 23 Adler; Zonaras pp. 1573 et 1578



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/74 UNIVERSITÄT LEIPZIG